| | |
|---|---|
| ἔπεισε τὴν μητέρα μόνους **σφᾶς** ἐς τὸ **δωμάτιον** […] μεταπέμψασθαι: καὶ οὕτω, **πιστεύσαντος τοῦ Γέτα**, ἐσῆλθε μὲν μετ᾽ αὐτοῦ, ἐπεὶ δὲ εἴσω ἐγένοντο, **ἑκατόνταρχοί** τινες **ἐσεπήδησαν ἀθρόοι**, παρὰ τοῦ Ἀντωνίνου προπαρεσκευασμένοι, καὶ αὐτὸν πρός τε τὴν μητέρα, ὡς εἶδέ σφας, προκαταφυγόντα καὶ ἀπό τε τοῦ **αὐχένος** αὐτῆς **ἐξαρτηθέντα** καὶ τοῖς στήθεσι τοῖς τε **μαστοῖς** προσφύντα κατέκοψαν **ὀλοφυρόμενον** καὶ βοῶντα: ‘μῆτερ μῆτερ, τεκοῦσα τεκοῦσα, βοήθει, σφάζομαι.’ ” | Σφᾶς : αὐτούς<br>Τὸ δωμάτιον, ου : ἡ οἰκία τῶν βασιλέων<br>Πιστεύσαντος τοῦ Γέτα : ἐπεὶ ὁ Γέτας ἐπίστευσε<br>ἑκατόνταρχος : ὁ ἄρχων ἑκατὸν ἀνδρῶν<br>εἰσπηδάω : ὁρμάω<br>ἀθρόος, α, ον : πᾶς, πᾶσα, πᾶν<br>ὁ αὐχήν, ένος : <br>ἐξαρτάω : προσάπτω<br>ὁ μαστός, οῦ : <br>προσφύω : ἔχομαι, λαμβάνομαι<br>ὀλοφύρομαι : στενάζω<br>σφάζομαι : σφάττομαι |
| καὶ ἡ μὲν […] τόν τε υἱὸν ἐν τοῖς ἑαυτῆς **κόλποις ἀνοσιώτατα ἀπολλύμενον** ἐπεῖδε, καὶ τὸν θάνατον αὐτοῦ ἐς αὐτὰ τὰ **σπλάγχνα** τρόπον τινά, ἐξ ὧν **ἐγεγέννητο**, ἐσεδέξατο: καὶ γὰρ τοῦ **αἵματος** πᾶσα **ἐπλήσθη**. | ὁ κόλπος, ου : ὁ μαστός ἀλλὰ καὶ ὅπου ὁ παῖς φέρεται ἐν τῇ γυναικί<br>ἀνοσιώτατα ↔ ἱερώτατα<br>ἀπολλύμενον : ἀποθνήσκων<br>τὰ σπλαγχνα, ων : πάντα τὰ ὄργανα τὰ ἐν τῷ γαστρί<br>ἐγεγέννητο : ἐγένετο<br>τὸ αἷμα, ατος : <br>ἐπλήσθε : ἐπληροῦτο |
| οὔτε δὲ **πενθῆσαι** οὔτε **θρηνῆσαι** τὸν υἱόν […] ὑπῆρξεν αὐτῇ […] ἀλλ᾽ ἠναγκάζετο ὡς καὶ ἐν μεγάλῃ τινὶ εὐτυχίᾳ οὖσα χαίρειν καὶ γελᾶν: ” | Πενθέω : λυποῦμαι καὶ δακρύω ἄνθρωπον νεκρόν<br>Θρηνέω : πενθέω<br>Γελάω : ahahahahah! |

Cassius Dio, *Historiae Romanae*, 78, 2-3.

| | |
|---|---|
| τέλος δὲ μὴ φέρων ὁ Ἀντωνῖνος, ἀλλ’ὑπὸ τῆς περὶ τὴν **μοναρχίαν ἐπιυθμίας** ἐλαυνόμενος, διέγνω δρᾶσαι τι ἢ παθεῖν **γενναῖον** […]. | ἡ μοναρχία, ας : ἡ ἀρχὴ ἀνθρώπου ἑνός<br>ἡ ἐπιθυμία, ας : πάθος τοῦ ἐπιθυμούμενος<br>διέγνω : εἷλε (< αἱρέω)<br>δρᾶσαι : ποιῆσαι<br>γενναῖον : κάλλιστα |
| Γέτας μὲν δὴ **καιρίως τρωθείς**, προσχέας τὸ αἷμα τοῖς τῆς μητρὸς στήθεσι, **μετήλλαξε τὸν βίον.** | Καιρίως τρωθείς : οὕτως τύπτεται ὡς βεβαίως μέλλει ἀποθανεῖσθαι<br>Μεταλλάσσω τὸν βίον : ἀποθνήσκω |
| ὁ δ’Ἀντωνῖνος […] προπηδᾷ τοῦ δωματίου θέων, φερόμενός τε δι’ὅλων τῶν **βασιλείων** ἐβόα μέγαν κίνδυνον **ἐκπεφευγέναι** μόλις τε **σωθῆναι**. | Θέων : τρέχων<br>Τὰ βασιλεία, ων : ἡ οἰκία τῶν βασιλέων<br>ἐκπεφευγέναι : φεύγειν<br>σωθῆναι : σώζεσθαι |
| Τούς τε στρατιώτας […] κελεύει αὐτὸν ἁρπάσαντας ἀπάγειν ἐς τὸ στρατόπεδον. | Τὸ στρατόπεδον, ου :  |

Herodian, Τῆς μετὰ Μάρκον ἱστορίας, IV 2-3.